# 21 OCTOMBRIE

# SLUJBA SF.PREOT-MUCENIC SOCRATE DE LA ANCIRA

# MINEIUL-GR


Ο ΑΓΙΟΣ
ΣΩΚΡΑΤΗΣ

# ΟΚΤΩΒΡΙΟΣ ΚΑ ΣΩΚΡΑΤΗΣ ΙΕΡΟΜΑΡΤΥΣ ΑΚΟΛΟΥΘΙΑ

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ', καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσι.

Τῷ σῷ κράτει φιλάνθρωπε, ὁ Σωκράτης ῥωννύμενος, μαρτυρίου στάδιον χαίρων ἤνυσε, καὶ ταῖς ῥανίσι τοῦ αἵματος, λαμπρῶς ἐπορφύρωσε, τὴν στολὴν τὴν ἱεράν, καὶ ἀνῆλθε γηθόμενος, πρὸς οὐράνια, οὗ πρεσβείαις ἐλέησον οἰκτίρμον, τοὺς ἐν πίστει ἐκτελοῦντας, αὐτοῦ τὴν μνήμην τὴν ἔνδοξον.

Ἱερεὺς ἐνθεώτατος, Ἀθλοφόρος ἀήττητος, ὡς τοῦ θείου Πνεύματος ἐνδιαίτημα, καὶ οἰκονόμος θεόληπτος, ψυχῶν ἐχρημάτισας, ἀριστεύσας ἱερῶς, ἱερώτατε Σώκρατες· διὰ τοῦτό σε, ἡ Χριστοῦ Ἐκκλησία μακαρίζει, ὡς πρεσβεύοντα ἀπαύστως, ὑπὲρ ἡμῶν πρὸς τὸν Κύριον.

Ὥσπερ στήλη θεόγραφος, εὐσεβείας καὶ χάριτος, τῶν εἰδώλων ἅπαντα τὰ σεβάσματα, ζήλῳ τῷ θείῳ

πυρούμενος, συνέτριψας Ἅγιε, καὶ ἐνήθλησας στεῤῥῶς, καὶ τμηθεὶς τὸν αὐχένα σου, Πάτερ Σώκρατες, τῇ πλημμύρᾳ τῶν θείων σου αἱμάτων, κατεπόντισας τὸ στῖφος, τοῦ πονηροῦ κοσμοκράτορος.

*Ἕτερα. Ὁ αυτός. Ἔδωκας σημείωσιν.*

Φέγγει θείου Πνεύματος, τῇ καθαρᾷ πολιτείᾳ σου, ἐλλαμφθεὶς τὴν διάνοιαν, θεόληπτε Σώκρατες, τῷ Σωτῆρι πάντων, πίστει ἱερούργεις καὶ μαρτυρίου τὴν ὁδόν, ἀνενδοιάστῳ γνώμῃ διήνυσας, Αὐτοῦ τὸ θεῖον ὄνομα, ομολογήσας μακάριε, διὰ τοῦτο στεφάνῳ σε, τῷ διπλῷ κατεκόσμησε.

Πίστεως στεῤῥότητι, καὶ ψυχικῇ ἀνδρειότητι, καὶ τῷ λόγῳ τῆς χάριτος, κατήσχυνας ἔνδοξε, εἰδώλων τὴν πλάνην, καὶ δι᾽ ἀσθενείας, σαρκὸς καθεῖλες κραταιῶς, τὸν ἐν κακίᾳ ἰσχυρὸν δράκοντα, Ἱερομάρτυς ἔνδοξε, πάθεσι θείοις ῥωννύμενος· διὰ τοῦτο τὴν μνήμην σου, οἱ πιστοὶ ἑορτάζομεν.

Ἐν βίῳ θεόληπτος, καὶ ἐν ἀθλήσει στεῤῥότατος, ἐχρημάτισας Σώκρατες, ζωῆς καθαρότητι, καὶ ψυχῆς φρονήσει, καὶ δι᾽ ἀμφοτέρων, εὐαρεστήσας τῷ Χριστῷ, Ἱερομάρτυς ἀξιοθαύμαστε, τὰ ἔπαθλα τῶν πόνων σου, χειρὶ τῇ θείᾳ εἰσδέδεξαι, καὶ τῆς ἄνω λαμπρότητος, ἐπαξίως τετύχηκας.

*Δόξα. Ἦχος πλ. β΄.*

Τὴν ἱερατικὴν ἀμπεχόμενος στολήν, πρὸς ἀθλητικοὺς ἀπεδύσω ἀγῶνας, Ἱερομάρτυς Σώκρατες, τῇ γὰρ θείᾳ

ὁμολογίᾳ κραταιωθείς, είδωλικῆς μανίας τὴν πλάνην ἤλεγξας, καὶ πρὸς σφαγὴν ἑκούσιον, δέδωκας σαύτόν, τὸν Σωτῆρα μιμούμενος, καὶ τῷ οἰκείῳ αἵματι, τὴν Ἐκκλησίαν ἀρδεύσας, τῆς κεκρυμμένης ἐν Χριστῷ ζωῆς, περιφανῶς ἠξιώθης. Ἀλλ' ὡς ἱερεὺς καὶ Μάρτυς ἀληθής, ἀπαύστως ἱκέτευε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Παροιμιῶν τὸ Ἀνάγνωσμα. (Κεφ. ι'.7)*

Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος

αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλήν, καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῶ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. ι'.32)*

Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας· Στόμα σοφῶν μελετᾷ σοφίαν, δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρὸς δικαίου οὐκ ὄλλυται ἐλπίς· υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωήν, καὶ ἐν ἀγαθοῖς

αὐτοῦ καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διαπαντός, καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται, καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας, δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτήν, πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτὴν οὐ κοπιάσει, καὶ ὁ ἀγρυπνήσας δι' αὐτήν, ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς καὶ ἐφίλησα ταύτην, καὶ ἐξεζήτησα ἐκ νεότητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ. Ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν. Μύστης γὰρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ αἱρέτις τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσὶν ἀρεταί· σωφροσύνην δὲ καὶ φρόνησιν αὕτη διδάσκει, δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν, ἐπίσταται στροφὰς λόγων, καὶ λύσεις αἰνιγμάτων, σημεῖα καὶ τέρατα προγινώσκει, καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων, καὶ πᾶσι σύμβουλός ἐστιν ἀγαθή. Ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ, καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγῳ αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας. Θεὲ

Πατέρων, καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν, καὶ μὴ με ἀποδοκιμάσῃς ἐκ παίδων σου, ὅτι ἐγὼ δοῦλος σός, καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἀπὸ θρόνου δόξης σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με, τὶ εὐάρεστόν ἐστι παρὰ σοί. Καὶ ὁδηγήσῃ με ἐν γνώσει, καὶ φυλάξῃ με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοὶ καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα. (Κεφ. ζ'.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν

τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α΄.*

Ὡς θυσίαν εὐπρόσδεκτον, τῇ ἀθλήσει προσήγαγες, σεαυτὸν τῷ Σωτῆρι, Ιερομάρτυς Σώκρατες, τὰ ἀρ θεῖα μυστήρια, θεολήπτῳ γνώμῃ τελῶν, τῷ ἰδίῳ αἵματι, ἀπετελέσθης Χριστῷ, σφαγιασθεὶς ὡς πρόβατον, ὑπὲρ Αὐτοῦ μακάριε· ὅθεν ἀξίως ἀντεδοξάσθης, ἀντιμισθίᾳ δαψιλεῖ, καὶ πρεσβεύεις ἑκάστοτε, ὑπὲρ τῶν τιμώντων σε.

*Ἦχος β΄.*

Τῇ θείᾳ ψήφῳ ἐκλελεγμένος Κυρίῳ, θεοπρεπῶς διήγαγες, τὴν θείαν ὑπουργίαν, καὶ ἱερατικοῖς ἁγιασμοῖς, τῶν πιστῶν ἁγιάσας τὸ φρόνημα, ἀθλητικαῖς ἀριστείαις ἐδόξασας, τοῦ Σωτῆρος τὸ ὄνομα, περιφανῶς γὰρ ἠνδραγάθησας, κατὰ τῆς πλάνης Σώκρατες, καὶ τῷ κράτει τῆς πίστεως, τῷ κόσμῳ διέλαμψας· διό σε γεραίρομεν, Ἱερομάρτυς ἔνδοξε.

*Ἦχος γ΄.*

Θεοπρεπεῖ πολιτείᾳ κοσμούμενος, τοῖς τοῦ Σωτῆρος ἐλαμπρύνθης στίγμασιν, Ἱερομάρτυς Σώκρατες, ἐν ἀρεταῖς γὰρ θεοειδὴς ὑπάρχων, ἐν Ἀθλητῶν σκάμμασιν, ὤφθης ἀήττητος, καὶ τοῖς διπλοῖς ἀγῶσι, τῶν εὐσεβῶν παιδεύσας τὸ φρόνημα, τὰ ἄνω φρονεῖν καὶ ζητεῖν, τῆς Ἐκκλησίας τὴν εὐπρέπειαν, τοῖς τιμίοις πόνοις σου ἐφαίδρυνας. Ἀλλ' ὡς ἔχων παῤῥησίαν

πρὸς Χριστόν, πρέσβευε δεόμεθα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Δόξα. Ἦχος δ΄.*

Τὸν ἐν ἱερεῦσιν Ἀθλητήν, καὶ ἐν Μάρτυσιν ἱερέα, Σωκράτην τὸν ἀοίδιμον, μαρτυρικοῖς εὐφημήσωμεν ὕμνοις, τὸ γὰρ θεῖον Εὐαγγέλιον, ἀμέμπτως ἱερουργῶν, ἀθλητικοῖς πόνοις καὶ αἵμασι, τὸν λόγον τῆς πίστεως ἐσφράγισε, καλῶς γὰρ ἀγωνισάμενος, καὶ ἐν πᾶσιν εὐαρεστήσας Χριστῷ, τὸ βραβεῖον τῆς ἄνω κλήσεως, παρ᾽ Αυτοῦ εδέξατο· ᾯ καὶ πρεσβεύει ἀδιαλείπτως, ῥυεσθαι ἡμᾶς πάσης θλίψεως, ὡς Ἱερομάρτυς ἐνθεώτατος.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἐκ παντοίων κινδύνων τοὺς δούλους Σου φύλαττε εὐλογημένη Θεοτόκε, ἵνα Σὲ δοξάζομεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

*Εἰς τὸν Στίχον. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.*

Θυσίαν προσάγων τῷ Χριστῷ, πρώην τὴν ἀναίμακτον, ὡς ἱερεὺς ὢν τῆς χάριτος, θεόφρον Σώκρατες, εἶτα προσηνέχθης τούτῳ τῇ ἀθλήσει σου, ὡς θῦμα λογικόν τε καὶ τέλειον· διὸ ἀντέλαβες, οὐρανόθεν δόξαν ἄφραστον, καὶ καμάτων, τῶν σῶν τὴν ἀντίδοσιν.

Στ.: *Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Πανεύφημε Σώκρατες σαύτόν, τύπον θείων πράξεων, ἐν Ἐκκλησίᾳ παρέστησας, Ὁσίων ἔνδοξε· ὅθεν τῶν εἰδώλων, συντριβὴν πεποίηκας, καὶ τούτων καθελὼν

τὰ σεβάσματα, γνώμης στεῤῥότητι, διελήλυθας γηθόμενος, μαρτυρίου τὸν δόλιχον Ἅγιοε.

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Τῷ ξίφει τμηθεὶς τὴν κεφαλήν, πάσας ἐναπέτεμες, τὰς μηχανὰς τοῦ ἀλάστορος, παμμάκαρ Σώκρατες, καὶ τῇ οὐρανίῳ, Ἐκκλησίᾳ Ἅγιε, συνήφθης τὴν θυσίαν τὴν ἄΰλον, φέρων τῷ Κτίσαντι, σὺν Ἀγγέλοις μεθ' ὧν πρέσβευε, ὑπέρ πάντων τῶν ἀνευφημούντων σε.

*Δόξα. Ἦχος πλ. δ΄.*

Εὐσεβῶς ἀγωνισάμενος ἐν ἱερεῦσι καὶ Μάρτυσιν, ἀκριβῶς διέπρεψας, Ἱερομάρτυς Σώκρατες· δι' ἀμφοτέρων γὰρ ἐδόξασας, τὸν τῆς δόξης Κύριον, καὶ τὸ μυστήριον τῆς πίστεως, τοὺς τὴν αἰώνιον ζωὴν ποθοῦντας, καλῶς ἐμυσταγώγησας. Καὶ νῦν Ἀγγέλοις συνών, καὶ τοῦ ἀνεσπέρου φωτὸς κατατρυφῶν, ἱκέτευε μακάριε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Ἀθλήσεως αἵμασι τὴν ἱεράν σου στολήν, ἐνθέως ἐλάμπρυνας, ὑπὲρ τῆς δόξης Χριστοῦ, τμηθεὶς τὸν αὐχένα σου· ὅθεν ὡς ἱερέα, καὶ στεῤῥὸν Ἀθλοφόρον, Σώκρατες σὲ τιμῶμεν, καὶ θερμῶς σοι βοῶμεν· μὴ παύσῃ καθικετεύων, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Δόξα... Καὶ νῦν... Θεοτοκίον*

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον· διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος, δι' οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α’ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Τῷ κράτει τοῦ Χριστοῦ, κρατυνθεὶς φερωνύμως, ἠγώνισαι στεῤῥῶς, κατὰ τῆς ἀσεβείας, θεόληπτε Σώκρατες, καὶ τὸν δόλιον δράκοντα καταβέβληκας, τοῖς ἱεροῖς σου καμάτοις· ὅθεν σήμερον, τὴν φωτοφόρον σου μνήμην, φαιδρῶς ἑορτάζομεν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τὸν Λόγον τοῦ Πατρός, συλλαβοῦσα ἀφράστως, ἐκύησας Αὐτόν, ἐν διπλῇ τῇ οὐσίᾳ, μιᾷ ὑποστάσει δέ,

ὡς ηὐδόκησεν ἄχραντε, καὶ ἐθέωσας, τῶν γηγενῶν τὴν οὐσίαν, τῇ κυήσει Σου, Θεογεννῆτορ Μαρία· διό σε δοξάζομεν.

*Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Βίου λαμπρότητι, καλλωπιζόμενος, λόγον σωτήριον, ἔσχες τῷ στόματι, ὡς ἱερὸς μυσταγωγός, τῆς χάριτος τοῦ Κυρίου· ὅθεν καὶ διήλεγξας, τῶν εἰδώλων τὸ μάταιον, καὶ προθύμως ἤθλησας, δι' ἀγάπην τοῦ Κτίστου σου, παρ' οὗ ἐμεγαλύνθης ἀξίως, Σώκρατες θεῖε Ἀθλοφόρε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ἀρρήτως τέτοκας, τὸν ὑπερούσιον, σάρκα γενόμενον, ἐκ τῶν αἱμάτων Σου, καὶ μετὰ τόκον τὸν φρικτόν, παρθένος ἔμεινας Κόρη, ὄντως μεγαλεῖά Σοι, ὁ Δεσπότης ἐποίησεν, ὅτι πρὸ αἰώνων Σε, ἐξελέξατο Ἄχραντε, καὶ ὤφθη διὰ Σοῦ τοῖς ἀνθρώποις, σώζων τοὺς Σὲ ὑμνοῦντας.

*Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος δ'. Ὁ ὑψωθείς.*

Ὡς ἱερεὺς καὶ λειτουργὸς τῶν ἀρρήτων, μαρτυρικῶς ὑπὲρ Χριστοῦ ἠγωνίσω, Ἱερομάρτυς Σώκρατες μακάριε· ὅθεν παριστάμενος, τοῦ Σωτῆρος τῷ θρόνῳ, πρέσβευε δεόμεθα, πάσης βλάβης ῥυσθῆναι, τοὺς τὴν σεπτήν σου μνήμην ἐν χαρᾷ, ἐπιτελοῦντας, καὶ σὲ μακαρίζοντας.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ὡς τοῦ Σωτῆρος ἀειπάρθενος Μήτηρ, καὶ ὑπερτέρα πάσης κτίσεως Κόρη, καὶ τῶν Ἀγγέλων λαμπροτέρα πέλουσα, ἀσυγκρίτως ἄχραντε, εὐμενεῖ ὄμματί Σου, ἐπὶ τὴν ταπείνωσιν, τῆς ἀθλίας ψυχῆς μου, ἴδε καὶ ῥῦσαι ταύτην ἀπεχθοῦς, παθῶν δουλείας, πολλῇ Σου χρηστότητι.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου.
Προκείμενον: *Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*
Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*
Εὐαγγέλιον, κατὰ Ματθαῖον, ζήτει τῇ 13ῃ Ὀκτωβρίου.
Ὁ Ν' ψαλμός.
Δόξα: *Ταῖς τοῦ Ἱερομάρτυρος...*
Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*
Ἰδιόμελον. Ἦχος πλ. β'. Στ.: *Ἐλέησόν με ὁ Θεός...*
Ἐν τῷ φωτὶ τοῦ Χριστοῦ πορευόμενος, ἀπροσκόπτως διώδευσας, τῆς σωτηρίας τὴν ὁδόν, Ἱερομάρτυς Σώκρατες, πρώην μὲν ταῖς ἀρεταῖς, τῇ Ἐκκλησίᾳ ἐκλάμπων, εἶτα δὲ οἰκείῳ αἵματι, πρὸς Χριστὸν ἀναδραμών· Ὧι πρέσβευε ἐκτενῶς ὡς ἔχων παρρησίαν, σώζεσθαι τοὺς σὲ μακαρίζοντας.

Εἶτα, οἱ Κανόνες· τῆς Θεοτόκου, καὶ τοῦ Ἁγίου οὗ ἡ ἀκροστιχίς: *Σήν, ὦ Σώκρατες, δίδου μοι χάριν. Γερασίμου.*

### *Ὠδὴ α᾽. Ἦχος πλ. β΄. Δεῦτε λαοί.*

Στέφει ζωῆς, τῆς αἰωνίου κοσμούμενος, καὶ τῷ φωτὶ λαμπόμενος, τοῦ Παντοκράτορος, φῶς μοι αἴτησαι θεῖον, ὦ Σώκρατες ὑμνοῦντι, τὴν θείαν μνήμην σου.
Ἡ σὴ ζωή, ταῖς ἀρεταῖς ὡς ἐξέλαμψε, τῆς εὐσεβείας θεῖόν σε, φωστῆρα ἔδειξε, καὶ μύστην τῶν ἀῤῥήτων, καὶ Μάρτυρα Κυρίου, παμμάκαρ Σώκρατες.
Νόμῳ Χριστοῦ, πολιτευόμενος Ἅγιε, τὴν ἀνομίαν ἤλεγξας, ἐνθέῳ στόματι, καὶ νομίμως ἀθλήσας, λαμπρῶς ἐμεγαλύνθης, θεόθεν Σώκρατες.

*Θεοτοκίον.*

Ὡς τοῦ Χριστοῦ, Μήτηρ ἁγνὴ ἀδιάφθορος, τὴν ἐκ παθῶν τοῦ σώματος, φθορὰν εἰσρεύσασαν, τῇ ἀθλίᾳ ψυχῇ μου, ἐκκάθαρον Παρθένε, τῇ Σῇ χρηστότητι.

### *Ὠδὴ γ᾽. Στερέωσον ἡμᾶς.*

Σταγόσι τῶν αἱμάτων σου ἔσβεσας, τὴν φλόγα τῆς πλάνης Ἱερομάρτυς, καὶ πιστῶν πλουσίως ἤρδευσας, τὰς καρδίας πρὸς γνῶσιν τὴν σωτήριον.
Ὡς θεῖος ἱερεὺς πιστῶς ἱέρευσας, Χριστῷ τῷ τυθέντι ἐθελουσίως, καὶ ὡς θῦμα καθαρώτατον, προσηνέχθης Αὐτῷ, ἀθλήσας ἄριστα.
Καθεῖλες τῶν ματαίων τὰ σεβάσματα, καὶ τούτων τὰ ξόανα ἀνέτρεψας, πρὸς ἀγῶνας τῆς ἀθλήσεως, ἀπεδύσω προθύμως, Πάτερ Σώκρατες.

*Θεοτοκίον.*

Ῥωννύμενοι Παρθένε τῇ Σῇ χάριτι, οὐδόλως τὰ θράση καὶ τὴν μανίαν, δειλιῶμεν τοῦ ἀλάστορος, ἀλλὰ τούτου ἀεὶ περιγινόμεθα.

*Κάθισμα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον.*

Ἱερεύσας ὁσίως παμμάκαρ Σώκρατες, τῇ Παναγίᾳ Τριάδι καθαρωτάτῃ ψυχῇ, τὸ ποτήριον πιεῖν Χριστοῦ ἠξίωσαι, ἐναθλήσας ἀνδρικῶς, ὑπὲρ τῆς δόξης ἑαυτοῦ· ἐντεῦθεν μέτοχος ὤφθης, τῆς τῶν Ἀγγέλων εὐκλείας, Ἱερομάρτυς ἀξιάγαστε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Σαρκωθεὶς ἀποῤῥήτως ἐκ τῶν αἱμάτων Σου, ὁ ὑπερούσιος, Λόγος δι᾽ εὐσπλαγχνίαν πολλήν, τὴν οὐσίαν τοῦ Ἀδὰμ ἁγνὴ ἀνέπλασε, καὶ ἀνήγαγεν αὐτήν, πρὸς ζωὴν τὴν ἀληθῆ, καὶ δόξαν τὴν οὐρανίαν· διὸ Σου τὰ μεγαλεῖα, πίστει ὑμνοῦμεν καὶ δοξάζομεν.

*ᾨδὴ δ᾽. Εἰσακήκοα Κύριε.*

Ἀθλητὴς ὤφθης ἄριστος, ὑπὲρ Χριστοῦ τὸ αἷμά σου ἐκχέας· διὸ σε ὑμνοῦμεν, Σώκρατες ἔνδοξε.

Τῶν εἰδώλων τὸ μάταιον, γλώσσῃ τῇ σῇ θεόφρον θριαμβεύσας, τοῦ Χριστοῦ τὸ κράτος, ἄθλοις ὑπέφηνας.

Ἐντολαῖς τοῦ παντάνακτος, τῶν εὐσεβῶν τὸ φρόνημα παιδεύων, λειτουργὸς ὤφθης, τῆς χάριτος πάνσοφος.

*Θεοτοκίον.*

Σωτηρίας πρὸς τρίβον με, ἐκ τῆς ὁδοῦ ἀνθέλκυσον τῆς πλάνης, ἵνα Σε δοξάζω, μόνη πανύμνητε.

*ᾨδὴ ε᾽. Τῆς νυκτὸς διελθούσης.*

Δόξαν τὴν τοῦ Σωτῆρος, ἅπασι καταγγέλων, ἀδοξίαν οἷα ψυχόλεθρον, ἤλεγξας τῶν εἰδώλων, καὶ ἤρθης πρὸς μαρτυρίου, Σώκρατες τὴν δόξαν τὴν ἄϋλον.

Ἴθυνας τοῦ νοός σου, Σώκρατες τὰς κινήσεις, πρὸς τὸ φῶς Χριστοῦ τὸ ὑπέρλαμπρον· ἔνθεν ἐν ἱερεῦσι, καὶ ἐν Ἀθλοφόροις, ἔλαμψας τῷ κόσμῳ μακάριε.

Δύναμιν θείαν ἔχων, ἔνδον ἐν τῇ ψυχῇ σου, ὡς λειτουργὸς ἱερώτατος, πᾶσαν τὴν τοῦ βελίαρ, δύναμιν ὀλεθρίαν, ἄθλοις ἱεροῖς κατεπάλαισας.

*Θεοτοκίον.*

Ὄμβρησόν μοι Παρθένε, ἔλεος δυσωπῶ Σε τῷ παθῶν κειμένῳ τοῖς βάθεσιν, ὡς ἂν μετανοίᾳ, τὰς λοιπὰς ἡμέρας τῆς ζωῆς, διέλθω ὁ δείλαιος.

*ᾨδὴ στ᾽. Ἐν ἀβύσσῳ πταισμάτων.*

Ὑπηρέτης Χριστοῦ ἐνθεώτατος, ὤφθης Πάτερ Σώκρατες καὶ ἠνδραγάθησας, μαρτυρικοῖς παλαίσμασι· διὰ τοῦτο ἀξίως δεδόξασαι.

Μαρτυρίου ἀνύσας τὸν δίαυλον, καὶ ἱερωσύνης σου τὸ θεῖον ἔνδυμα, φοινίξας τοῖς σοῖς αἵμασι, πρὸς Χριστὸν γηθοσύνως ἀνέδραμες.

Οἱ κρουνοὶ τῶν αἱμάτων σου Σώκρατες, τῶν ὑπὲρ Χριστοῦ χυθέντων γεγόνασι, δρόσος ἡμῖν ούράνιος, καὶ ψυχῶν θεοδώρητον ἴαμα.
Ἱερεὺς τοῦ Σωτῆρος θεόληπτος, οἷα καθαρὸς τῇ ψυχῇ ὤφθης Σώκρατες, καὶ Ἀθλητὴς περίδοξος, ὑπὲρ τούτου θανὼν προθυμότατα.

*Θεοτοκίον.*

Χαρμονὴν τῇ ψυχῇ μου ούράνιον, τῇ λελυπημένῃ παθῶν ἐπιθέσεσι, παράσχου Θεονύμφευτε, ὡς χαρᾶς τῆς ἀλήκτου θησαύρισμα.

*Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.*

Τοῦ Χριστοῦ τῇ χάριτι, καθωπλισάμενος, τὸν ἀγῶνα ἤνυσας, τοῦ μαρτυρίου εὐθαρσῶς, καὶ ἐπαξίως δεδόξασαι, Ἱερομάρτυς ἀοίδιμε Σώκρατες.

*Ὁ Οἶκος.*

Τὸ θεῖον κράτος τοῦ Χριστοῦ, σαφῶς ἐνδεδυμένος, καὶ εὐσεβείας τῷ φωτί, λαμπρῶς πεπυρσευμένος, τῆς Ἐκκλησίας λειτουργός, καὶ ἱερὸς μυσταγωγός, καὶ λαμπαδοῦχος ὁδηγός, ἐδείχθης θεοφόρε· ἐντεῦθεν θείῳ ἀναπτερωθεὶς ἔρωτι, ὡς τὸ πολίτευμα ἐν οὐρανοῖς ἔχων, τὴν τῶν εἰδώλων ματαιότητα ἤλεγξας, καὶ τὰ σεβάσματα τούτων κατέλυσας, τῆς τῶν πιστῶν σωτηρίας, ὡς ποιμὴν ἀληθὴς προνοούμενος, καὶ ἀθλητικῶς τὴν ζωήν σου σφραγίσας, ὑπὲρ Χριστοῦ προθύμως τὸ σὸν αἷμα κέχυκας, Ἱερομάρτυς ἀοίδιμε Σώκρατες.

### *Συναξάριον.*

Τῇ ΚΑ΄ τοῦ αὐτοῦ Μηνός, Μνήμη τῆς Ἁγίας Μάρτυρος Θεοδότης, καὶ Σωκράτους Πρεσβυτέρου.

*Τὴν Θεοδότην, ἐκ ξίφους τετμημένην,*
*Θεῷ δοτὴν ἔγνωμεν ἁγνὴν θυσίαν.*
*Ὁ Σωκράτης ἔσπευδεν ὀφθῆναι, Λόγε,*
*Τετμημένος σοι Σωκράτης στεφοκράτης.*

### *Ὠδὴ ζ'. Εἰκόνος χρυσῆς.*

Ἀμέμπτῳ ζωῇ, ἱερῶς κεκοσμημένος θεοφόρε, Μαρτύρων δόξαν ἐπλούτησας, μαρτυρικῶς ἠγώνισαι, καὶ ἐν ἀμφοτέροις ἐμπρέπων, Χριστῷ κραυγάζεις γηθόμενος· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ῥημάτων τῶν σῶν, μὴ ἐνέγκας ὁ παράνομος διώκτης, τὴν διαλάμπουσαν ἀλήθειαν, Πάτερ θεόληπτε Σώκρατες, ξίφει τὴν ἁγίαν σου κάραν, ἀποτέμνει κραυγάζοντος· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ἰσχὺν θεϊκήν, ἐζωσμένος ἰσχυρῶς Σώκρατες μάκαρ, ψυχῆς στεῤῥότητι διήλεγξας, τὸ τῶν εἰδώλων ἀνίσχυρον, καὶ τῆς τῶν ἐχθρῶν ἀσθενείας, καταπτύσας ἐκραύγαζες· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

### *Θεοτοκίον.*

Νοός μου ἁγνή, τὰς κινήσεις καὶ τὴν ἔφεσιν πρὸς μόνον, τῶν ἐφετῶν τὸ ἀκρότατον, Χριστὸν τὸ φῶς τὸ ἀπρόσιτον, ἴθυνον τῇ Σῇ εὐσπλαγχνίᾳ, καὶ συνέτισον

ψάλλοντα· εὐλογημένος ὁ καρπός, τῆς Σῆς κοιλίας σεμνή.

*Ὠδὴ η’. Τὸν ἐν καμίνῳ.*

Γνώσει ἐκλάμπων ἀληθεῖ, ἀγνωσίας καταβέβληκας τὸ θράσος, καὶ καλῶς τὸν ἀγῶνα, τετελεκὼς ἐν Χριστῷ, τῆς ἄνω λαμπρότητος μέτοχος, Σώκρατες ἐγένου, σοφὲ Ἱερομάρτυς.

Ἐνδεδυμένος τὴν στολήν, κρίσει θείᾳ, τῆς σεπτῆς ἱερωσύνης, πρὸς ἀθλήσεως πόνους, χωρεῖς γενναίᾳ ψυχῇ, Χριστὸν εὐλογῶν θεῖε Σώκρατες, τὸν σοὶ δεδωκότα, ἐξ ὕψους θεῖον σθένος.

Ῥῦσαι ἡμᾶς παντοδαπῶν, πειρασμῶν καὶ συμφορῶν τῶν ἐν τῷ βίῳ, τῇ θερμῇ σου πρεσβείᾳ, τῇ πρὸς Χριστὸν τὸν Θεόν, καὶ δίδου ἡμῖν Πάτερ Σώκρατες, σταθηρὰν εἰρήνην, καὶ πᾶσαν εὐπραγίαν.

*Θεοτοκίον.*

Ἀπειρογάμως τὸν Χριστόν, συλλαβοῦσα καὶ τεκοῦσα ὑπὲρ λόγον, ἀλογίας τὴν φύσιν, ῥυόμενον τῶν βροτῶν, ὡράθης ἁγνὴ ὑπερέχουσα, πάντων ποιημάτων, ὡς Μῆτερ τοῦ Ὑψίστου.

*Ὠδὴ θ΄. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.*

Στέφανον νίκης ἐδέξω, τὸν ἀγῶνα τελέσας, καὶ ξίφει ἐκτμηθεὶς τὴν κεφαλήν, παρὰ Χριστοῦ τοῦ παντάνακτος, καὶ τοῖς ἄνω συνήφθης, Ἱερομάρτυς θείοις λειτουργοῖς, τὸ ἀμήχανον κάλλος, ὁρῶν τοῦ παντοκράτορος.

Ἱερωσύνης τὸ χρῖσμα, τῇ ἀθλήσει σου Πάτερ, λαμπρότερον τελέσας αλθῶς, πρὸς τὸν ναὸν τὸν ούράνιον, προσεχώρησας χαίρων, καὶ δόξης, τῆς ἀΰλου λειτουργός, σὺν Ἀγγέλοις ἐγένου, Ἱερομάρτυς Σώκρατες.
Μυσταγωγὸς θεοφόρος, καὶ ἐν ἄθλοις Μαρτύρων, περίδοξος ὡράθης Ἀθλητής, καὶ διπλοῖς πόνοις ἐδόξασας, τὸν Σωτῆρα τῶν ὅλων, Ἱερομάρτυς Σώκρατες σοφέ, διὰ τοῦτο τῆς δόξης, τῆς αἰωνίου ἔτυχες.
Ὁλολαμπὴς χρηματίζων, ὡς τὸ φῶς τοῦ Κυρίου, δεχόμενος πλουσίως Ἀθλητά, σκότους παθῶν με ἀπάλλαξον, καὶ φωτὶ ἀτενίζειν, τῷ θείῳ πτέρωσόν μου ψυχήν, τοῦ ὑμνοῦντός σε πόθῳ, Ἱερομάρτυς Σώκρατες.

*Θεοτοκίον.*

Ὑψίστου ὤφθης καθέδρα, καὶ πυρίμορφος θρόνος, Παρθένε καὶ παλάτιον λαμπρόν, τοῦτον ἀφράστως κυήσασα· Ὃν δυσώπει με ῥῦσαι παθῶν ἀκαθαρσίας ἀπεχθῶν, Σὲ γὰρ ἄχραντε μόνην, ἐλπίδα ζωῆς κέκτημαι.

*Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.*

Ὁ ἱερὸς Σωκράτης, ὕμνοις τιμάσθω ἱεροῖς, ὡς ἱερεὺς θεοφόρος, καὶ Ἀθλητὴς περιφανής· δι’ ἀμφοτέρων γὰρ ὤφθη, εὐαρεστήσας Κυρίῳ,

*Θεοτοκίον.*

Θεοχαρίτωτε Κόρη, ἁμαρτωλῶν ἡ προσφυγή, καὶ σωτηρία τοῦ κόσμου, λύτρωσαι πάσης ἀπειλῆς, καὶ πειρασμῶν καὶ κινδύνων, τοὺς προσιόντας Σοι πίστει.

*Αἶνοι. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.*

Τῆς εὐσεβείας τὴν δόξαν καὶ τὴν λαμπρότητα, ὡς ἱερεὺς Κυρίου, καὶ φωτὸς θείου πλήρης, τοῖς πᾶσιν ὑπεμφαίνων βίῳ τῷ σῷ, ἱερώτατε Σώκρατες, μαρτυρικῶς κατεπάλαισας τὴν ἰσχύν, τοῦ δολίου πολεμήτορος.

Τὴν συντριβὴν τῶν εἰδώλων ἀπεργασάμενος, ὡς τοῦ Εὐαγγελίου, στηλογράφημα ἔμπνουν, διήνυσας τὸν δρόμον καρτερικῶς, τῆς ἀθλήσεως Σώκρατες, καὶ ἐπαξίως ἐστέφθης παρὰ Χριστοῦ, ἀφθαρσίας διαδήματι.

Τῇ ἐκτομῇ ὑποκλίνας τοῦ ξίφους Ἅγιε, τοῖς τῶν αἱμάτων ῥείθροις, τὴν ἁγίαν στολήν σου, ἐφοίνιξας πλουσίως καὶ πρὸς Χριστόν, νικηφόρος ἀνέδραμες, Ὃν ἐκδυσώπει σωθῆναι τοὺς εὐλαβῶς, Μάρτυς Σώκρατες τιμῶντάς σε.

Ταῖς ὑπὲρ νοῦν λαμπηδόσι καταλαμπόμενος, τῆς ἀρχικῆς Τριάδος, ἐν σκηναῖς οὐρανίαις, Σώκρατες παμμάκαρ ῥῦσαι ἡμᾶς, τοὺς ἐν γῇ σε γεραίροντας, ἐκ σκοτασμοῦ παθημάτων πολυειδῶν, ταῖς πρὸς Κύριον πρεσβείαις σου.

*Δόξα. Ἦχος β΄.*

Τῆς ἀληθείας γεηπονῶν τὴν ἄρουραν, καρπὸν πολὺν Χριστῷ ἐξήνεγκας, Ἱερομάρτυς Σώκρατες, τὴν γὰρ ζωήην σου τέθεικας, ὑπὲρ τῆς εὐσεβείας, ἀπαρνησάμενος σαύτόν, ἐν τῇ ἀπεκδύσει τῶν φθαρτῶν, καὶ νομίμως ἀγωνισάμενος, τῆς θείας ἀγάπης τὸ κράτος, πᾶσιν ὑπέδειξας. Ἀλλ' ὡς τῆς ἄνω ζωῆς κληρονόμος, καὶ κοινωνὸς τῆς δόξης Κυρίου, ἀπαύστως ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Ὢ θαύματος καινοῦ, πάντων τῶν πάλαι θαυμάτων! τίς γὰρ ἔγνω Μητέρα, ἄνευ ἀνδρὸς τετοκυῖαν, καὶ ἐν ἀγκάλαις φέρουσαν, τὸν ἅπασαν τὴν κτίσιν περιέχοντα; Θεοῦ ἐστι βουλὴ τὸ κυηθέν, ὃν ὡς βρέφος Πάναγνε, σαῖς ὠλέναις βαστάσασα, καὶ μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν κεκτημένη, μὴ παύσῃ δυσωποῦσα ὑπὲρ τῶν σὲ τιμώντων, τοῦ οἰκτειρῆσαι καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον.*

Τὸν Ἱερομάρτυρα τοῦ Χριστοῦ, Σωκράτην τὸν θεῖον, εὐφημήσωμεν ἐν ᾠδαῖς, χαίροις ἐκβοῶντες, αὐτῷ ἀπὸ καρδίας, ὁ τὸν Χριστὸν δοξάσας, οἰκείοις αἵμασι.